TEZAUR LITURGIC

19 APRILIE

# PARACLISUL SF.CUVIOS SIMEON DE LA FILOTEU-ATHOS

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 19 ΑΠΡΙΛΙΟΣ
# ΟΣΙΟΣ ΣΥΜΕΩΝ Ο ΜΟΝΟΧΙΤΩΝ ΚΑΙ ΑΝΥΠΟΔΗΤΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Σὲ τὴν θεόβρυτον πηγὴν τῶν θαυμάτων, καθικετεύομεν οἱ πάθεσι πλείστοις, κατασχεθέντες δοῦλοί σου ἐκ βάθους τῆς ψυχῆς, Ἅγιε βοῶμέν σοι, τῇ θερμῇ σου πρεσβείᾳ, τάχυνον ἐλέησον, κακωθέντας σοὺς δούλους, καὶ εἰρηναίαν αἴτησε ζωήν, ὅπως σωθέντες, σὲ πόθῳ δοξάζομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών.

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Πολλοῖς ἐκτηκόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω σωτηρίαν ἐπιζητῶ, ἐπικαλουμένῳ μοι παμμάκαρ, ἐμαῖς ὀδύναις καμφθεὶς ἐπιτάχυνον.

Λύτρωσαι τοὺς δούλους σου τῶν παθῶν, τῶν παρενοχλούντων, καθ’ ἑκάστην καὶ πρὸς βυθόν, δεινὸν ἀπωλείας συνελάσαι, μελλόντων Πάτερ τῇ πρεσβείᾳ σου.

Κτίστην τὸν τῶν ὅλων θαυματουργέ, μὴ ἐλλίπῃς ὅλως, ἱκετεύειν ὑπὲρ ἡμῶν, νόσῳ χαλεπῇ συνεχομένων, ἐξ ἧς ὀλέσθαι κινδυνεύομεν.

*Θεοτοκίον.*

Ἴασαι νοσοῦντας ἡμᾶς δεινῶς, τῆς θανατηφόρου, ἀσθενείας τῶν σαρκικῶν, ἁγνὴ ψυχικῶν τε παθημάτων, ὅπως πιστῶς Σε ἀεὶ μακαρίζομεν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἰατῆρα παντοίων ἐπηρειῶν Ὅσιε, δόκιμον εἰδότες σε ῥύστην ἐπικαλούμεθα, τὴν σὴν ἀντίληψιν, τοῦ θεραπεῦσαι καὶ σῶσαι, τῇ θερμῇ πρεσβείᾳ σου, δούλους σου κάμνοντας.

Τὰς δεινὰς ἐπινοίας τῶν ὁρατῶν Ὅσιε, καὶ τῶν ἀοράτως προφθάσας ἐχθρῶν ἀπόσβεσον· τῇ μεσιτείᾳ σου, ἐπιστηρίζων τῷ φόβῳ, τοῦ Κυρίου ἔνδοξε, τοὺς ἀνυμνοῦντάς σε.

Τοὺς ἐν πίστει καὶ πόθῳ τὸ ἱερὸν Ὅσιε, λείψανον τιμῶντας τὸ θεῖόν σου καὶ πανίερον, κινδύνων λύτρωσαι, τῶν πειρασμῶν καὶ πανώλους, τὴν ἰσχὺν κατάλυσον, τῇ μεσιτείᾳ σου.

*Θεοτοκίον.*

Παναγία Παρθένε τῶν Ἀθλητῶν καύχημα, καὶ τῶν ἱερῶν Ἀποστόλων τὸ σεμνολόγημα, τοὺς ἐν αἰνέσει Σε, χαρμονικῶς ἀνυμνοῦντας, ῥῦσαι ταῖς πρεσβείαις Σου, πάσης κακώσεως.

Διάσωσον, ἀπὸ κινδύνων καὶ θλίψεων Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτης θερμός, φρουρός τε ἀκαταίσχυντος, ὑπάρχων Πατὴρ τῶν πίστει ἀνυμνούντων σε, ἐκ ψυχῆς βοῶμέν σοι· Συμεὼν μακάριε τάχυνον, καὶ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς πόθῳ περιπτυσσομένους τὴν θείαν κάραν σου.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Πειρασμοῖς συνεχόμενοι, πάθεσι ποικίλοις τε παναοίδιμε, σοῦ δεόμεθα οἱ τλήμονες, ἐξαλεῖψαι τούτους τῇ πρεσβείᾳ σου.

Σοῦ δεόμεθα Ἅγιε, ἵλεων ποιῆσαι Θεὸν ὀργιζόμενον, καθ’ ἡμῶν τῶν παραβάντων αὐτοῦ, καὶ ἀτιμασάντων τὰ προστάγματα.

Ἰατῆρα εἰδότες σε, νόσων ἀλγεινῶν καὶ παθῶν χαλεπῶν, ἱκετεύομέν σε Ἅγιε, θεραπεῦσαι κάμνοντας τοὺς δούλους σου.

*Θεοτοκίον.*

Τὰς ψυχὰς ἡμῶν αὔγασον, τὰς ἐσκοτισμένας τοῖς πλημμελήμασι, ἡ τὸν Ἥλιον κυήσασα, τῆς δικαιοσύνης ἀειπάρθενε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἴασαι δεινῶς, ἀσθενοῦντας τὴν ψυχὴν ἡμῶν, καὶ τὸ σῶμα τῇ πρεσβείᾳ σου διδοὺς ἡμῖν, ὑγείαν εἰρήνην καὶ ἔλεος.

Λῦσον τὴν ἰσχύν, τῆς δεινοῦ καὶ ὀλεθρίου ὀργῆς, τῆς πανώλους τῇ πρεσβείᾳ σου, διδοὺς ἡμῖν ὑγείαν, εἰρήνην καὶ ἔλεος.

Λύτρωσαι ἡμᾶς, τῆς ἐχθρῶν ἐπιβουλῆς καὶ ὁρμῆς, ἐπιμόνῳ τῇ δεήσει σου, κακονοίας πάσας ἐξαφάνισον.

*Θεοτοκίον.*

Ὑπὲρ τῶν εἰς Σέ, τὰς ἐλπίδας πάντων Δέσποινα, κεκτημένων Κόρη πρέσβευε, ὅπως λυτρωθῶμεν κατακρίσεως.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Τὰ νέφη, τῶν πειρασμῶν καλύψασθαι, τὰς ψυχὰς ἡμῶν δεινῶς ἀπειλοῦσι, καὶ πρὸς βυθόν, ἀνυπόστατον Πάτερ, καταποντίσαι ἡμᾶς ἐπισπεύδουσιν, ἀλλ’ ἐπιτάχυνον βοηθός, τοῖς ἐπικαλουμένοις ἡμῖν ἑτοιμότατος.

Τὰ πλήθη, τῶν ὁρατῶν πανεύφημε, ἀοράτων ἐχθρῶν καταθλίβει, ἀνηλεῶς, καθ’ ἑκάστην καὶ ῥῆξαι, ἐκδειματοῦσιν ὡς κύνες κεχήνασιν, οἰκέτας σου ἀλλὰ αὐτός, τῆς αὐτῶν κακουργίας ἐκλύτρωσαι.

Εἰδόντες σε, ἰατῆρα τῶν νόσων, παντὸς πάθους τε δεινὸν ἐλατῆρα, οἱ χαλεπῇ, συνεχόμενοι νόσῳ, ἐκ βαθέων ψυχῆς σοι κραυγάζομεν· ἀπάλλαξον ἡμᾶς λοιμοῦ, ὦ Πατέρων τὸ θεῖον ἀγλάϊσμα.

*Θεοτοκίον.*

Συντρίμματα, τῆς ψυχῆς ἡμῶν Κόρη, καὶ τὰ χρόνια ἰάτρευσον πάθη, τὸν ἰατρόν, τῶν ψυχῶν καὶ σωμάτων, ἀνερμηνεύτως Παρθένε κυήσασα, καὶ λύτρωσαι τοὺς ἐπὶ Σέ, ἠλπικότας κολάσεως πάναγνε.

Διάσωσον, ἀπὸ κινδύνων καὶ θλίψεων Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν πιστῶν.*

Προστασία τῶν πιστῶν ἑτοιμότατος, ἱκεσία πρὸς Χριστὸν τὸν Θεὸν ἀκαταίσχυντος, μὴ ὑπερίδῃς δέησιν τῶν δούλων σου οἰκτράν, ἀλλὰ πρόφθασον ὡς συμπαθής, πρὸς ἐξιλέωσιν Θεοῦ, τοῖς πιστῶς περιπτύσσουσι· κάραν σου τὴν τιμίαν, καὶ λείψανόν σου τὸ θεῖον, σὺ γὰρ προστάτης ἡμῶν, Συμεὼν τῶν τιμώντων σε.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (ια΄, 27-30).*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ἡμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶος εἰμί, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Στῆσόν μου πανάριστε, τὰς τῶν παθῶν διεκχύσεις, καὶ ῥοὰς ἀνάστειλον, τὰς τῆς ἁμαρτίας μου καὶ χειμάῤῥους μου, τῶν παθῶν ξήρανον, ἱκετεύω γάρ σε, καὶ προσπίπτω καὶ κραυγάζω σοι· ἴασαι Ἅγιε, τὴν πεπωρωμένην καρδία μου, πηγάς μοι κατανύξεως, καὶ δακρύων ὄμβρους παρέχων μοι· ἵνα τάς τε χεῖρας, καὶ ὅλον μου τὸ σῶμα ῥυπωθέν, τούτοις ἐκπλύνων τὸ ἔλεος, Θεοῦ ἐπισπάσωμαι.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὀχετοὺς τῶν δακρύων μὴ παρίδῃς οὐδ' ὅλως ἀλλὰ μετάβαλλε, τῶν σὲ ἀνευφημούντων, πρεσβείᾳ σου τῇ

θείᾳ, εἰς χαρὰν ὅπως ψάλλωμεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τὴν ὀργὴν τοῦ Ὑψίστου εἰς γαλήνην παμμάκαρ σὺ μεταποίησον, πρεσβείᾳ σου τῇ θείᾳ, αὐτὸν καθιλαρύνων, ὑπὲρ ἡμῶν τῶν βοώντων αὐτῷ· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τοὺς ἐν πίστει τελοῦντας Πάτερ τὴν μνήμην σου τὴν πανίερον, διάσωσον παντοίων, παθῶν τε καὶ κινδύνων, χαλεπῶν ὅπως μέλψωμεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Σωτηρίας λιμένα Θεοτόκε Παρθένε Σὲ νῦν κατέχοντες, τοῦ βίου τρικυμίας, ἐκφεύγομεν καὶ ζάλας, τῷ Υἱῷ Σου κραυγάζοντες· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Κατεύνασον, τῇ θερμῇ σου πρεσβείᾳ, τρικυμίας τῶν παθῶν καὶ γαλήνην, τοῖς χειμαζομένοις, παράσχου εἰς αἰῶνας.

Ἡμάρτομεν, τῷ Θεῷ ἐκβοῶντες, ἀλλὰ πρέσβυν σε προβάλλομεν ἐκείνῳ, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπάλλαξον, λοιμικῆς ἀσθενείας, πάσης βλάβης τε τοὺς πίστει σε καὶ πόθῳ, ἐπικαλουμένους, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Καταύγασον, τὰς ψυχὰς τῶν ὑμνούντων, ἁμαρτίαις ζοφωθείσας Παρθένε, καὶ ὑπερυψούντων, τὸν ἄχραντόν Σου τόκον.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκου.*

Ἱκέτευσον παμμάκαρ, Κτίστην τὸν τῶν ὅλων, τοῦ λυτρωθῆναι κινδύνων καὶ θλίψεων, τοὺς ἐπαξίως τὴν μνήμην σου μεγαλύνοντας.

Τὴν λύπην δεομένων, εἰς χαρὰν θεόφρον, ὡς συμπαθὴς μεταποίησον, ὅπως σου διασωθέντες, τὴν μνήμην πανηγυρίζομεν.

Τὴν χάριν τῶν θαυμάτων, ἐκ Θεοῦ πλουτήσας, τοὺς κακωθέντας ἱκέτας περίσωσον, πρὸς σὲ γὰρ πάντες οἰκτρῶς καταφεύγομεν.

*Θεοτοκίον.*

Ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν προστάτις, χειμαζομένων λιμὴν εὐδιώτατος, Παρθένε ῥῦσαι τὸν δοῦλόν Σου κάμνοντα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Κατακαμπτομένους ἐν πειρασμοῖς, Συμεὼν θεόφρον, τῇ πρεσβείᾳ σου πρὸς Θεόν, ζάλης πολυπλόκου, παθῶν τε καὶ κινδύνων, ῥῦσαι τοὺς σὲ τιμῶντας, ἀξιοθαύμαστε.

Φύλαττε τοὺς δούλους σου τῶν δεινῶν, Συμεὼν παμμάκαρ, τοὺς τιμῶντάς σε εὐσεβῶς, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, ὅπως διασωθέντες, σὲ μακαρίζομεν.

Ὕψωσον τὰς χεῖράς σου πρὸς Θεόν, ὑπὲρ τῶν σῶν δούλων, Ὅσιε Συμεὼν Πατὴρ ἡμῶν, καὶ τοῦτον δυσώπει, πολλῶν ἀμπλακημάτων, ῥυσθῆναι τῆς μελλούσης, ὀργῆς καὶ θλίψεως.

Λύσιν τῶν πταισμάτων μου καὶ δεινῶν, αἴτησαι εὑρεῖν με, ὦ Συμεὼν τὸν Χριστόν, καὶ σοὶ παραστῆναι, μετὰ σαρκὸς τὴν λύσιν, κἂν μέγα θεοφόρε πέλει τὸ αἴτημα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα.Ἦχος πλ. β΄*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός

ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σὲ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Δέχου, τὰς δεήσεις εὐμενῶς, τῶν σοὶ προσφευγόντων ἐν πίστει, καὶ δεομένων θερμῶς, Ὅσιε Συμεών, καὶ τὰς αἰτήσεις αὐτῶν· ἐκπληρώσας ἀπάλλαξον, θλίψεων παντοίων, σώζων τοὺς οἰκέτας σου, ταῖς πρὸς Θεόν σου λιταῖς· πόθῳ, τὴν ἁγίαν σου κάραν, κατασπαζομένους ἀφθόνως, τοῖς πιστοῖς πηγάζουσιν ἰάματα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

